## ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ ΑΥΤΩΝ.

Διενήνοχε δὲ, ὅτι τὸ μὲν ἴδιον, μόνῳ ἑνὶ εἴδει πάρεστιν, ὡς τὸ γελαστικὸν ἀνθρώπῳ. διαφέρει δὲ τὸ ἴδιον τοῦ ἀχωρίστου. ὅτι τὸ μὲν ἴδιον, ἑνὶ μόνῳ εἴδει πρόσεστι. τὸ γὰρ γελαστικὸν, μόνῳ πρόσεστι τῷ ἀνθρώπῳ. τὸ δὲ μέλαν ὅπερ ἐστὶν ἀχώριστον, οὐ τῷ αἰθίοπι μόνον, ἀλλὰ καὶ τῷ κόρακι καὶ ἄλλοις πλείοσι. καὶ τὸ μὲν ἴδιον ἀντικατηγορεῖται. διὸ καὶ ἐπίσης μετέχεται. εἴ τι γὰρ ἄνθρωπος, γελαστικόν. καὶ εἴ τι γελαστικὸν, ἄνθρωπος. ἐπίσης ὅ, τε σωκράτης καὶ πλάτων γελαστικοί. τὸ δὲ ἀχώριστον συμβεβηκὸς, οὐκ ἀντικατηγορεῖται. διὸ οὐδὲ ἐπίσης μετέχεται. εἴ τι γὰρ κόραξ μέλαν, οὐ μὴν εἴ τι μέλαν κόραξ. καὶ ἔστιν αἰθίοψ αἰθίοπος μᾶλλον μέλας ὡς καὶ πρότερον εἴπομεν. γελαστικὸν δὲ μᾶλλον ἕτερον ἑτέρου οὐκ ἔστιν. ἰστέον δὲ ὅτι οὐ λέγει ἄνευ τοῦ ἰδίου καὶ τοῦ συμβεβηκότος οὐ δύναται ὑποστῆναι ἡ οὐσία ἐφ' ὧν ταῦτα θεωροῦνται, ἐπεὶ ἡ οὐσία πρᾶγμα ἐστὶν αὐθυπόστατον, ἀλλ' ὅτι χωρὶς τοῦ ἰδίου καὶ τοῦ συμβεβηκότος οὐχ ὑφίστανται αἱ οὐσίαι. οὐχὶ καθὸ οὐσίαι, ἀλλὰ κατ' ἄλλα. λέγω δὴ τὰ ἴδια, καὶ τὰ συμβεβηκότα. ὁ γὰρ μουσικὸς σωκράτης, καθὸ σωκράτης, ἔστιν ἄνευ μουσικοῦ. ὡς δὲ μουσικὸς, ἄνευ τοῦ μουσικοῦ ὑποστῆναι οὐ δύναται :-

Ἐνετίῃσιν ἐτυπώθη δαπάνῃ τοῦ εὐγενοῦς καὶ δοκίμου ἀνδρὸς, κυρίου Νικολάου Βλαστοῦ τοῦ Κρητός. οὐκ ἄνευ μέντοι προνομίου. Ἔτει τῷ ἀπὸ τῆς Χριστοῦ γεννήσεως, χιλιοστῷ πεντακοσιοστῷ, σκιροφοριῶνος ἐνάτῃ φθίνοντος. ἄρχοντος Αὐγουστίνου Βαρβαδίκου τοῦ μεγαλοπρεπεστάτου, τὴν βασιλίδα τῶν πόλεων ταύτην εὐτυχῶς ἡνιοχοῦντος :-

LANDES- UND STADT- BIBLIOTHEK DÜSSELDORF

Universitäts- und Landesbibliothek Düsseldorf

Universitäts- und
Landesbibliothek Düsseldorf

Universitäts- und
Landesbibliothek Düsseldorf

Universitäts- und
Landesbibliothek Düsseldorf




Universitäts- und
Landesbibliothek Düsseldorf